# Sermo tetrasyllabus

## Λόγος τετρασύλλαβος

Νικηθεὶς δὲ κατὰ κράτος ὁ πονηρὸς Διάβολος καθίσας ἀπωδύρετο καὶ ἔλεγε μετὰ κλαυθμοῦ. Οὐαί μοι τῷ ταλαιπώρῳ· τί πέπονθα ὁ ἄθλιος; Πῶς ἡττηθεὶς ἀνεχώρησα; Τῆς αἰσχύνης δὲ ταύτης ἐγώ εἰμι αἴτιος ὁ συνάψας μετ' αὐτῶν πόλεμον ἐπὶ πολύ. Νικηθεὶς γὰρ ἐκ πρώτης καὶ δευτέρας προσβολῆς, εὐθὺς ἐχρῆν με νοῆσαι, ὅτι Χριστὸς ἦν μετ' αὐτῶν. Νυνὶ δὲ φιλονεικήσας τοῖς ἁγίοις, τὸν μισθὸν αὐτῶν ηὔξησα εἰς τὴν ἐμὴν ἀτιμίαν, νικηθεὶς δὲ ἀνεχώρησα μετ' αἰσχύνης μεγάλης, τραυματισθεὶς τὴν κεφαλὴν ἐκ τῶν τραυμάτων τῶν ἐμῶν. Τὰς γὰρ παγίδας ἔστησα, ὥστε αὐτοὺς παγιδεῦσαι, αὐτοὶ δὲ λαβόντες αὐτὰς τὴν κεφαλήν μου ἔθλασαν. Τὰ βέλη μου τὰ 30 ὀξέα, ἅπερ ἔπεμπον κατ' αὐτῶν, λαβόντες αὐτοὶ δι' αὐτῶν με ἀπέκτειναν. Ἐγὼ αὐτοὺς ἐπολέμουν ἐν πάθεσι διαφόροις, αὐτοὶ δὲ ἐτροποῦντό με τῇ δυνάμει τοῦ σταυροῦ. Δικαίως οὖν ταῦτα πάσχω ἐγὼ ὁ ἀφρονέστατος, εὐδοκίμους ἀναδείξας καὶ ἄκων τοὺς ἀγωνιστάς. Ἔδει με γὰρ σωφρονισθῆναι ὃ ἔπαθον ἀπὸ Χριστοῦ· πῶς πᾶσά μου ἡ δύναμις καθηρέθη ὑπ' αὐτοῦ. Πάντα γὰρ τότε ἔπραξα, ὥστε αὐτὸν σταυρωθῆναι, καὶ ὁ ἐκείνου θάνατος θανάτῳ με παρέδωκε. Τὸ αὐτὸ πάλιν ἔπαθον ὁμοίως ἐπὶ μαρτύρων, ὀνειδισμὸς καὶ αἰσχύνη καὶ γέλως γεγενημένος. Ἐκίνησα γὰρ βασιλεῖς καὶ εὐτρέπισα τὰς βασάνους, ἵνα ἰδόντες πτήξωσι καὶ ἀρνήσωνται τὸν Χριστόν· οἱ δὲ οὐ μόνον οὐκ ἔπτηξαν τὰς διαφόρους κολάσεις, ἀλλὰ καὶ μέχρι θανάτου τὸν Χριστὸν ὡμολόγησαν. Οὕτως καὶ νῦν θέλων τούτους νικῆσαι διὰ πολέμων, νικηθεὶς ἀνεχώρησα μετ' αἰσχύνης μεγάλης. Οὐκέτι δύναμαι φέρειν τὸ ὄνειδος, ὃ ὑπέστην· κομπάζων μεγάλα, ὑπὸ ἀνθρώπων εὐτελῶν καθῄρηταί μου τὸ κράτος καὶ πᾶσα ἡ δυναστεία. Οὐκ οἶδα λοιπὸν τί πράξω ἢ τί ἀπολογήσομαι. Οἱ εὐτελεῖς καὶ ἀμαθεῖς στέφανον νίκης ἔλαβον, ἐγὼ δὲ ὁ ταλαίπωρος αἰσχύνην ἐκομισάμην. Ἐσκοτίσθην, ἐπτοήθην, ἐξέλιπεν ἡ ἰσχύς μου· τί οὖν 31 ποιήσω ὁ ἄθλιος καὶ τί πράξω, οὐ γινώσκω. Ἀποδράσας ἀπὸ τούτων τῶν γενναίων ἀγωνιστῶν ἀπέλθω πρὸς τοὺς φίλους μου τοὺς ῥαθύμους τῇ προθέσει, ὅπου οὐκ ἔστι μοι κόπος, οὐδὲ πάλιν τεχνάσματα. Παρ' αὐτῶν γὰρ λαβὼν δεσμά, δεσμεύω τούτους ἐν αὐτοῖς. Δήσας δὲ αὐτοὺς ἐν δεσμοῖς ἐν οἷς αὐτοὶ εὐδοκοῦσι, τοῦ λοιποῦ ὑποχειρίους ἔχω αὐτοὺς ὥσπερ δούλους ποιοῦντας ἀεὶ τὰ ἐμὰ θελήματα ἑκουσίως, ἵνα κἂν οὕτως νικήσας, μικρὸν ἔλθω εἰς ἑαυτὸν καὶ καυχήσωμαι ἐν αὐτοῖς ὡς ἀριστεὺς καὶ νικητής. Εἰ γὰρ καὶ αὐτοὶ προθέσει πίπτουσιν εἰς τὸ βάραθρον, ἀλλ' ὅμως ἐγὼ χαίρομαι ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν· χαιρόμενος δὲ ὁδηγῶ εἰς ὁδὸν τῆς ἀπωλείας, ἵνα ἔχω κοινωνοὺς ἐν πυρὶ τῷ ἀσβέστῳ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.